12 Οἱ δὲ τῶν Ἑλληνικῶν φιλοσόφων περιφανέστατοι, ὧν
ἡ μνήμη παρὰ τοῖς ἐλλογίμοις μέχρι καὶ τήμερον πολυθρύ-
λητος, Φερεκύδης ὁ Σύριος καὶ Πυθαγόρας ὁ Σάμιος καὶ
Θαλῆς ὁ Μιλήσιος καὶ Σόλων ὁ Ἀθηναῖος, καὶ μέντοι καὶ
Πλάτων ἐκεῖνος, ὁ Ἀρίστωνος μὲν υἱός, Σωκράτους δὲ
φοιτητής, εὐστομίᾳ δὲ πάντας ἀποκρύψας, οὐκ ὤκνησαν
ἕνεκα τοῦ τἀληθὲς ἐξευρεῖν καὶ Αἴγυπτον περινοστῆσαι καὶ
Θήβας τὰς Αἰγυπτίας καὶ Σικελίαν καὶ Ἰταλίαν, καὶ ταῦτα
οὐ μιᾶς βασιλείας τάδε τὸ τηνικαῦτα ἰθυνούσης τὰ ἔθνη,
p. 6 ἀλλὰ διαφόρων μὲν πολιτειῶν ἐν ταῖς πόλεσιν | οὐσῶν,
13 διαφόρων δὲ νόμων· αἱ μὲν γὰρ δημοκρατίαν, αἱ δὲ ὀλι-
γαρχίαν ἠσπάζοντο· καὶ οἱ μὲν ἐτυραννοῦντο, οἱ δὲ ἐννόμως
ἐβασιλεύοντο. ἀλλ' ὅμως οὐδὲν αὐτοὺς τούτων ἐπέσχε τῶν
κωλυμάτων παρὰ βαρβάρους ἀνθρώπους δραμεῖν καὶ μαθεῖν
παρ' αὐτῶν, ἅπερ αὐτοὺς ἄμεινον γινώσκειν ἑαυτῶν ὑπε-
14 λάμβανον. φασὶ δὲ αὐτοὺς ἐν Αἰγύπτῳ οὐ μόνον παρ'
Αἰγυπτίων, ἀλλὰ καὶ παρ' Ἑβραίων τὰ περὶ τοῦ ὄντος
διδαχθῆναι Θεοῦ. καὶ ταῦτα διδάσκει μὲν Πλούταρχος ὁ
Βοιώτιος, διδάσκει δὲ καὶ Πορφύριος ὁ κατὰ τῆς ἀληθείας
λυττήσας, καὶ μέντοι καὶ Νουμήνιος ὁ Πυθαγόρειος καὶ
15 ἕτεροι πλεῖστοι. φασὶ δὲ τὸν Πυθαγόραν καὶ περιτομῆς
ἀνασχέσθαι, τοῦτο παρ' Αἰγυπτίων μεμαθηκότα· Αἰγύπτιοι
δὲ παρ' Ἑβραίων τόνδε τὸν νόμον παρέλαβον. Ἀβραὰμ γὰρ
τοῦ πατριάρχου παρὰ τοῦ Θεοῦ τῶν ὅλων τῆς περιτομῆς
δεξαμένου τὴν ἐντολήν, ἐφύλαξε μὲν ταύτην τὸ γένος· ᾤκησε